## ΕΥΑΓΓΕΛΙΟΝ ΚΑΤΑ ΙΩΑΝΝΗΝ.

Ἐν ἀρχῇ
ἦν ὁ λό-
γος, καὶ ὁ
λόγος
ἦν πρὸς
τὸν θεὸν, καὶ
θεὸς ἦν
ὁ λόγος.
οὗτος ἦν
ἐν ἀρχῇ πρὸς τὸν θεόν. πάντα δι' αὐτοῦ ἐγέ-
νετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν, ὃ γέ-
γονεν. ἐν αὐτῷ ζωὴ ἦν, καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν
ἀνθρώπων, καὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει,
καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβεν. *Ἐγένετο
ἄνθρωπος ἀπεσταλμένος παρὰ θεοῦ, ὄνομα
αὐτῷ Ἰωάννης. οὗτος ἦλθεν εἰς μαρτυρίαν, ἵνα
μαρτυρήσῃ περὶ τοῦ φωτὸς, ἵνα πάντες πιστεύ-
σωσι δι' αὐτοῦ. οὐκ ἦν ἐκεῖνος τὸ φῶς, ἀλλ' ἵνα
μαρτυρήσῃ περὶ τοῦ φωτός. *Ἦν τὸ φῶς τὸ ἀ-
ληθινὸν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχό-
μενον εἰς τὸν κόσμον. ἐν τῷ κόσμῳ ἦν, καὶ
ὁ κόσμος δι' αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν
οὐκ ἔγνω. *Εἰς τὰ ἴδια ἦλθε, καὶ οἱ ἴδιοι αὐ-
τὸν οὐ παρέλαβον. ὅσοι δὲ ἔλαβον αὐτὸν, ἔδω-
κεν αὐτοῖς ἐξουσίαν τέκνα θεοῦ γενέσθαι,
τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ, οἳ οὐκ ἐξ
αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκὸς, οὐδὲ ἐκ
θελήματος ἀνδρὸς, ἀλλ' ἐκ θεοῦ ἐγεννήθη-
σαν. *Καὶ ὁ λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνω-
σεν ἐν ἡμῖν, καὶ ἐθεασάμεθα τὴν δόξαν αὐ-
τοῦ, δόξαν ὡς μονογενοῦς παρὰ πατρὸς,
πλήρης

## EVANGELIVM SECVNDVM IOHANNEM.

α IN principio
γ erat ſermo,
& ſermo e-
rat apud
deũ. & deꝰ
erat ille ſer
mo. Hic e-
rat in prin-
cipio apud
deũ. Omnia ꝑ ipſum facta ſunt: & ſi-
ne eo factũ eſt nihil, quod factum eſt.
In ipſo uita erat, & uita erat lux homi
nũ, & lux in tenebris lucet, & tenebræ
β eam non apprehenderunt. Erat homo
γ miſſus à deo, cui nomen Iohãnes. Hic
uenit ad teſtificandum, ut teſtaretur de
luce, ut omnes crederent ꝑ ipſum. Non
erat ille lux illa, ſed miſſus erat, ut teſtare-
γ tur de luce. Erat lux illa, lux uera: quæ il
γ luminat omnẽ hominẽ uenientem in
mundum. In mundo erat, & mundus
ꝑ ipſum factus eſt, & mundus eũ non
δ cognouit. In ſua uenit, & ſui eum nõ re
ι ceperunt. Quotquot aũt receperũt eũ,
dedit eis ut liceret filios dei fieri, uidelicet
his qui crediđiſſent in nomẽ ipſiꝰ: Qui
nõ ex ſanguinibus, neqꝫ ex uoluntate
carnis, neqꝫ ex uolũtate uiri, ſed ex deo
ε nati ſunt. Et ſermo ille caro factus eſt,
& habitauit in nobis: & cõſpeximꝰ glo
γ riã eius, gloriã uelut unigeniti à patre:
plenus